**Liceo Ginnasio Statale**
**"Dante Alighieri" Ravenna**

# Piccolo Agone Placidiano

27 aprile 2010

**IV sezione (II Liceo Classico)**

## Solo attraverso la morte la ricerca della verità può trovare il suo compimento

Ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ συμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου κακοῦ, οὐ μή[1] ποτε κτησώμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. Μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν· ἔτι δέ, ἄν τινες νόσοι **προσπέσωσιν**, ἐμποδίζουσιν ἡμῶν τὴν **τοῦ ὄντος** θήραν. Ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίμπλησιν ἡμᾶς πολλῆς, ὥστε ὑπ᾽ αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. Καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. Διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας **πέρι** διὰ πάντα ταῦτα. Τὸ δ᾽ ἔσχατον πάντων ὅτι, ἐάν **τις** ἡμῖν καὶ σχολὴ γένηται ἀπ᾽ αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ **παραπῖπτον** θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ᾽ αὐτοῦ καθορᾶν τἀληθές. Ἀλλὰ τῷ ὄντι ἡμῖν **δέδεικται** ὅτι, εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα.

PLATONE, Φαίδων

[1] οὐ μή: per il significato di questa costruzione consulta attentamente il vocabolario.

**Questionario**

A. προσπέσωσιν: Analizza questa forma verbale.
B. τοῦ ὄντος: Cerca di spiegare il significato di quest'espressione.
C. πέρι: Come si giustifica questo accento?
D. τις: Ha qui funzione di pronome o di aggettivo?
E. παραπῖπτον: Con quale sostantivo (qui sottointeso) è concordato?
F. δέδεικται: Chiarisci il preciso valore aspettuale di questa forma verbale.
G. Sintetizza a grandi linee il contesto narrativo del *Fedone* in cui vengono pronunciate queste parole.
H. Illustra nei tratti fondamentali la concezione platonica del rapporto fra anima e corpo, come emerge dal testo, anche attraverso un preciso esame lessicale.